*παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς τὸ τὴν πατρίδα φιλεῖν. ἄξιον δ' ὦ ἄνδρες δικασταὶ καὶ τῶν ἰαμβείων ἀκοῦσαι, ἃ πεποίηκεν λέγουσαν τὴν μητέρα τῆς παιδός. ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.*

## *ῬΗΣΙΣ ΕΥΡΙΠΙΔΟΥ*

*τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,*
*ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,*
*χρόνῳ δὲ δρῶσι, δυσγενέστερον⟨. . . .⟩*
*ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν.*
*λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν*
*οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·*
*ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,*
*αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις*
*πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι*
*ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.*
*ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν,*
*ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,*
*λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.*
*ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,*
*ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.*
*πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν*